λάθοι. Τὸ σκιάδειον.] μικρὰ σκιὰ ἣν τινα ἐφόρουν αἱ παρθένοι κανηφόροι ἐρχόμεναι εἰς ἐλευσῖνα τοῦ μὴ ἐκκαίεσθαι διὰ τὸ ἔκκαυμα τοῦ ἡλίου. καλεῖται δὲ ἀπὸ τοῦ καῦμ' ἐλαύνειν καμηλαυνίον. Κανών.] ὁ τροπωτὴρ, ὁ ἐπέχων τὴν αἰγίδα σὺν αὐτῇ λόγχῃ. τὸ σκιάδιον, ἡ αἰγὶς. ἐνταῦθα κατηγορεῖ τῶν ῥιψασπίδων καὶ ἀποβαλόντων τὰς ἀσπίδας.

Bisetus. Γάστριδας.] γάστρις, ὁ γαστρίμαργος ὁ πολυφάγος, καὶ περὶ τὴν γαστέρα ἀκρατής. οὕτω δὲ καὶ τοὺς ἕλμινθας ἔχοντας καλεῖν φιλοῦσι. Σ. τῇδε τῇ λέξει καὶ ἐν Ὄρνισιν Ἀριστοφάνης ἐχρήσατο.

Τί ὦ κακόδαιμον ἠλίθιος, καὶ γάστρις εἶ;

Λωποδύτας] λωποδύτης, ἱματίων κλέπτης. λῶπος γὰρ ἡ λώπη, τὸ ἱμάτιον. καὶ λώπιον, τὸ εὐτελὲς ἱμάτιον. καὶ λοπίζω ἐκδύω. καὶ λωποδυτεῖν, τὸ ἱμάτια κλέπτειν, καὶ τὸ τοὺς νεκροὺς ἐκδύειν. οἱ δὲ τῶν Περσῶν τεθνεῶτες λωποδυτούμενοι, καὶ ταφῆς ἀμοιροῦντες τοῖς θηρείοις ἑστίασις ἦν αὐτοσχέδιος Σ. Τὰ πατρῷα.] Σ. πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων, ἢ τόπων Ἰσαῖος. Ἀποφαίνω γὰρ ὑμῖν ὡς οὐκ ἔστι τοῦ ἐπικλήρου τὸ χωρίον τοῦτο, οὐδ' ἐγένετό ποτε, ἀλλ' ὡς ἦν πατρῷον Λυσιμένει τῷ πατρὶ Μενεκράτους. ὁ δὲ Λυσιμένης ἔχει τὰ πατρῷα πάντα. Πάτρια δὲ λέγουσι τὰ ἔθη, καὶ τὰ νόμιμα, καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς. Ἀντιφῶν. τοῦτο δὲ, τοὺς νόμους εἰδὼς πατρίους, καὶ παλαιοὺς ὄντας ὑμῖν. Πατρικὸν δὲ, ὅταν περὶ προσώπου ποιῶνται τὸν λόγον. καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Σ. Σῶν ἔτι, καὶ νῦν τ' ἀντίον] τὸ πλῆρες, σῶον, ἢ σῶον τὸ ἀντίον. ἀντίον δὲ, ἔνθα ὑφαίνουσιν αἱ γυναῖκες. καὶ ἀντίον, φιάλης εἶδος. τινὲς δὲ ἀντίον εἶναι λέγουσι τὸ στρογγύλον ξύλον, ὅπερ οἱ ἱστουργοὶ περιάγοντες, καὶ περιστρέφοντες τῶν ἱστῶν τοὺς μίτους ἐπιτείνουσιν, ἵνα ῥᾷον ὑφαίνειν δύναιντο. Ὁ κανών.] ὁ κλεὶς, ἢ τὸ ξύλον, περὶ ὃ ὁ μίτος. καὶ αἱ τῆς ἀσπίδος ῥάβδοι, ἀφ' ὧν ὁ τελαμὼν ἐξῆπτο. Ἡσύχιος. Ἄλλως. ἔοικεν εὐθὺ ξύλον εἶναι ὁ ῥηθεὶς κανὼν, τορευτοῦ οἷα εἰκὸς, ὁμώνυμον τῷ ἀπορθοῦντι τὰ ξεόμενα κανόνι, χρήσιμον γυναιξὶν, ἢ κλώθειν, ἢ ἄλλως νῆμα ἐξέλκειν ἐν τῷ πρὸ τοῦ στήθους, ἢ κρατεῖσθαι, ἢ ἵστασθαι. σαφὲς γάρ τι οὐκ ἐτύχομεν γνῶναι ἀπὸ τοῦ μαθεῖν κάλαμον μίτων τὸν κανόνα εἶναι, ἢ ἐργαλεῖον ἠλακατῶδες. οὕτως Εὐστάθιος εἰς τὸ Ἰλ. Υ. Τὸ σκιάδειον] λέγεται καὶ σκιάδιον ἄνευ διφθόγγου. περὶ τούτου ἐν Ἱππεῦσι. καὶ ἐν Ὄρνισι. ἤδη εἴρηται. Πολλοῖς ὁ κανών.] κανὼν ἐνταῦθα συνεκδοχικῶς ἀπὸ τοῦ τελαμῶνος, καὶ λαβῆς τῆς ἀσπίδος, αὐτὴ ἡ ἀσπὶς νοεῖται. ὅπερ ἐκ τῶν ἑξῆς δῆλον. ὁ νοῦς. πολλοὶ δὲ τῶν ἡμετέρων ἀνδρῶν τὰς ἀσπίδας ὡς δειλοὶ κακῶς ἀπέβαλον, καὶ ἀπώλεσαν. αὐτοὺς τοίνυν ὁ χορὸς ῥιψάσπιδας καλεῖ. μεταφορικῶς δὲ τὸ σκιάδειον ἀντὶ τοῦ τὸ σάκος, εἴτε τὴν ἀσπίδα ληπτέον. ἀσπὶς γὰρ τοῖς στρατιώταις σκιὰν παρέχει, καὶ ταύτῃ οἱ στρατιῶται σκιαδείου δίκην χρῶνται πρὸς τὸ σῶμα σκιάζειν. τουτέστι σκεπάζειν, καὶ καλύπτειν μὴ τρωθείη. τούτων δὲ τῶν ὀνομάτων ἡ ἀμφιβολία ἐν τῇ διαφόρῳ σημασίᾳ κεῖται. ταῦτα δὲ γελοίως χάριν λέγεται αὐτῇ λόγχῃ δὲ, σὺν αὐτῇ τῇ λόγχῃ.

ΕΠΙΡΡΗΜΑ ἐκ στίχων τετραχαϊκῶν καταληκτικῶν ιϛʹ.

Bisetus. Τί ποτ' εἴη τὸ ἐπίρρημα, πόθεν εἴρηται ποτὲ, καὶ τίνος χάριν οἱ ποιηταὶ αὐτῷ χρῶνται, πολλάκις ἤδη ἀλλαχοῦ προείρηται.

Πολλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἂν
Τοῖσιν ἀνδράσιν δικαίως, ἓν δ' ὑπερφυέστατον.
Χρὴ γὰρ ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
Ταξίαρχον ἢ στρατηγὸν, λαμβάνειν τιμήν τινα.
Προεδρείαν ταύτῃ δίδοσθαι, Θησείοισι, καὶ Σκίροις
Ἔν τε ταῖς ἄλλαις ἑορταῖς, αἷσιν ἡμεῖς ἤγομεν.
Ἢν δὲ δειλὸν πονηρὸν ἄνδρα τις τέκοι γυνὴ
Ἢ τριήραρχον πονηρὸν, ἢ κυβερνήτην κακὸν,
Ὑστέραν αὐτὴν καθῆσθαι σκάφιον ἀποκεκαρμένην
Τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκὸς ὦ πόλις,
Τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
Λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου.
Καὶ δανείζειν χρήματ' ἣν χρῆν, κἂν ἣν δανείσῃ τινί.

REPREHENSIO, VEL INuectiuus sermo.

*Multa mulieres nos iure accusare possemus*
*In viris iustè, vnum verò supra modum maximum.*
*Oportet enim nostrûm, si pepererit aliqua virum bonum & frugi ciuitati,*
*Centurionem vel imperatorem exercitus, accipere honorem aliquem,*
*Primamq́ sellam & honoratiorem locùm ipsi dari in Thesis & scirus festis,*
*Et in alijs festis, quæ nos agere & celebrare solemus.*
*Si verò timidum & malum virum aliqua pepererit mulier,*
*Vel trierarcham prauum, vel gubernatorem improbum.*
*Posteriorem ipsam sedere scaphio detonsam,*
*Ea quæ fortem pepererit. Qua enim ratione par est ô ciuitas,*
*Hyperboli sedere matrem indutam*
*Albis indumentis, & capillos demissos habentem prope matrem Lamachi?*
*Et fænori dare pecunias, cui oportebat si fænori daret alicui,*